φιλίας ἀλόχου χέρα βαστάζων,
πολυάχητος δ' εἵπετο κῶμος,
τήν τε θανοῦσαν κἄμ' ὀλβίζων,
ὡς εὐπατρίδαι καὶ ἀπ' ἀμφοτέρων
ὄντες ἀριστέων σύζυγες εἶμεν·
νῦν δ' ὑμεναίων γόος ἀντίπαλος
λευκῶν τε πέπλων μέλανες στολμοὶ
πέμπουσί μ' ἔσω
λέκτρων κοίτας ἐς ἐρήμους.

*ΧΟ.* παρ' εὐτυχῆ antistr.
σοὶ πότμον ἦλθεν ἀπειροκάκῳ τόδ'
ἄλγος· ἀλλ' ἔσωσας
βίοτον καὶ ψυχάν.
ἔθανε δάμαρ, ἔλιπε φιλίαν·
τί νέον τόδε; πολλοὺς
ἤδη παρέλυσεν
θάνατος δάμαρτος.

*ΑΔ.* φίλοι, γυναικὸς δαίμον' εὐτυχέστερον
τοὐμοῦ νομίζω, καίπερ οὐ δοκοῦνθ' ὅμως·
τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε,
πολλῶν δὲ μόχθων εὐκλεὴς ἐπαύσατο.
ἐγὼ δ', ὃν οὐ χρῆν ζῆν, παρεὶς τὸ μόρσιμον
λυπρὸν διάξω βίοτον· ἄρτι μανθάνω.
πῶς γὰρ δόμων τῶνδ' εἰσόδους ἀνέξομαι;
τίν' ἂν προσειπών, τοῦ δὲ προσρηθεὶς ὕπο,
τερπνῆς τύχοιμ' ἂν εἰσόδου; ποῖ τρέψομαι;
ἡ μὲν γὰρ ἔνδον ἐξελᾷ μ' ἐρημία,
γυναικὸς εὐνὰς εὖτ' ἂν εἰσίδω κενὰς

917 *φιλίας*] schol.: *γράφεται πιστῆς* cfr. 880 919 *καὶ ἔμ'* Monk 920 sq. *κἀπ' L* | fort. *ἀμφοτέροιν . . ἀριστέοιν* | *ἀριστέων* Dobree] *ἀρίστων* libri | *εἶμεν* Heath] *εἰμὲν aP ἦμεν r* 924 *μ' ἔσω S*] *μ' εἴσω r* 925 *ἐς*] fort. *πρὸς* 926 *ΧΟ.* om. *B* 929 post *ψυχάν* add. *B*: *ἄδμητ. ἒ ἒ χορ. ὦ ἄδμητε*, *a* add. *ἒ ἒ* 931 *πολλοὺς* Canter] *πολλοῖς* libri 933 *παρέλυσεν* Matthiae] *παρέλυσε* libri 934 *δάμαρτας B πολλοῖς* (931) . . *δάμαρτα* (vel *δάμαρτας*) Matthiae | 936 *τοὐμοῦ B*] *τὸὐμον La τοῦ μοῦ P* 939 *χρῆν* Elmsley] *χρὴ* libri 940 *μανθάνων S* 943 *ἂν ἐξόδου* Lenting, *ὀνήσεως* Weidner 944 *ἐξελεῖ S* (*P ἐξελ* L ἐξελᾶ l*)

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG